# Θʹ

# ΒΟΙΩΤΙΚΑ

*Ἀθηναίοις δὲ ἡ Βοιωτία καὶ κατὰ ἄλλα τῆς Ἀττικῆς* 1
*ἐστιν ὅμορος, πρὸς δὲ Ἐλευθερῶν οἱ Πλαταιεῖς. Βοιωτοὶ δὲ τὸ μὲν πᾶν ἔθνος ἀπὸ Βοιωτοῦ τὸ ὄνομα ἔσχηκεν, ὃν Ἰτώνου παῖδα καὶ νύμφης δὴ Μελανίππης, Ἴτωνον δὲ Ἀμφικτύονος εἶναι λέγουσι· καλοῦνται δὲ κατὰ πόλεις ἀπό τε ἀνδρῶν καὶ τὰ πλείω γυναικῶν. οἱ δὲ Πλαταιεῖς τὸ ἐξ ἀρχῆς ἐμοὶ δοκεῖν εἰσιν αὐτόχθονες· ὄνομα δέ σφισιν ἀπὸ Πλαταίας, ἣν θυγατέρα εἶναι ⟨Ἀσωποῦ⟩ τοῦ ποταμοῦ νομίζουσιν. ὅτι μὲν δὴ καὶ οὗτοι τὸ ἀρχαῖον ἐβασιλεύοντο,* 2
*δῆλά ἐστι· βασιλεῖαι γὰρ πανταχοῦ τῆς Ἑλλάδος καὶ οὐ δημοκρατίαι πάλαι καθεστήκεσαν. τῶν δὲ βασιλέων ἄλλον μὲν οὐδένα οἱ Πλαταιεῖς ἴσασι, μόνον δὲ Ἀσωπὸν καὶ ἔτι πρότερον Κιθαιρῶνα· καὶ τὸν μὲν ἀφ᾿ αὑτοῦ θέσθαι τῶι ὄρει τὸ ὄνομα, τὸν δὲ τῶι ποταμῶι λέγουσι. δοκῶ δὲ καὶ τὴν Πλάταιαν, ἀφ᾿ ἧς κέκληται καὶ ἡ πόλις, βασιλέως Ἀσωποῦ καὶ οὐ τοῦ ποταμοῦ παῖδα εἶναι.*

*Πλαταιεῦσι δὲ πρὸ μὲν τῆς μάχης, ἣν Ἀθηναῖοι Μαρα-* 3
*θῶνι ἐμαχέσαντο, οὐδὲν ὑπῆρχεν ἐς δόξαν· μετασχόντες δὲ τοῦ Μαραθῶνι ἀγῶνος ὕστερον καταβεβηκότος ἤδη Ξέρξου καὶ ἐς τὰς ναῦς ἐτόλμησαν μετ᾿ Ἀθηναίων ἐσβῆναι, Μαρδόνιον δὲ τὸν Γωβρύου Ξέρξηι στρατηγοῦντα ἠμύναντο ἐν τῆι σφετέραι. δὶς δὲ σφᾶς κατέλαβε γενέσθαι τε ἀναστάτους καὶ αὖθις ἐς Βοιωτίαν καταχθῆναι. ἐπὶ μὲν* 4
*γὰρ τοῦ πολέμου τοῦ Πελοποννησίοις πρὸς Ἀθηναίους*

2 *ἐλευθέρων* **F** || 8 suppl. Clavier || 10 *βασιλεῖαι* **Va**: *-εία* *β* || 11 *δημοκρατίαι* **Va**: *-εία* **VF** *-εῖαι* **P** || 13 *ἀφ᾿ αὑτοῦ* Siebelis: *ἀπ᾿ αὐτοῦ* *β* || 15 *καί*[2] om. **PaVaVb** | *ἡ* om. **VaVb**

γενομένου Λακεδαιμόνιοι πολιορκίαι Πλάταιαν ἐξεῖλον·
ἀνοικισθείσης δὲ ἐπὶ τῆς εἰρήνης, ἣν πρὸς βασιλέα τὸν
Περσῶν γενέσθαι τοῖς Ἕλλησιν ἔπραξεν Ἀνταλκίδας ἀνὴρ
Σπαρτιάτης, καὶ τῶν Πλαταιέων κατελθόντων ἐξ Ἀθηνῶν,
τοὺς δὲ αὖθις ἔμελλεν ἐπιλήψεσθαι κακὸν δεύτερον. ἐκ μέν
γε τοῦ ἐμφανοῦς πόλεμος πρὸς τοὺς Θηβαίους οὐκ ἦν συν-
εστηκώς, ἀλλὰ οἱ Πλαταιεῖς μένειν τὴν εἰρήνην σφίσιν
ἔφασαν, ὅτι τὴν Καδμείαν Λακεδαιμονίοις κατασχοῦσιν
5 οὔτε βουλεύματος οὔτε ἔργου μετεσχήκεσαν· Θηβαῖοι δὲ
ἀπέφαινον τήν τε εἰρήνην Λακεδαιμονίους εἶναι τοὺς
πράξαντας καὶ ὕστερον παραβάντων ἐκείνων λελύσθαι καὶ
ἅπασιν ἠξίουν τὰς σπονδάς. οὐκ ἀνύποπτα οὖν ἡγούμενοι
οἱ Πλαταιεῖς τὰ ἐκ τῶν Θηβαίων διὰ φυλακῆς εἶχον ἰσχυ-
ρᾶς τὴν πόλιν· καὶ ἐς τοὺς ἀγρούς, ὁπόσοι ἀπωτέρω τοῦ
ἄστεως ἦσαν, οὐδὲ ἐς τούτους ἀνὰ πᾶσαν ἤρχοντο τὴν
ἡμέραν, ἀλλά — ἠπίσταντο γὰρ τοὺς Θηβαίους ⟨ὡς⟩ παν-
δημεὶ καὶ ἅμα ἐπὶ πλεῖστον εἰώθεσαν βουλεύεσθαι —
παρεφύλασσον τὰς ἐκκλησίας αὐτῶν, καὶ ἐν τῶι τοιούτωι
καθ' ἡσυχίαν ἐφεώρων τὰ ἑαυτῶν καὶ οἱ ἔσχατοι γεωργοῦν-
6 τες. Νεοκλῆς δὲ ὃς τότε βοιωταρχῶν ἔτυχεν ἐν Θήβαις —
οὐ γὰρ αὐτὸν οἱ Πλαταιεῖς ἐλελήθεσαν ἐπὶ τῆι τέχνηι —
προεῖπε τῶν Θηβαίων ἕκαστόν τινα ἰέναι πρὸς τὴν ἐκκλη-
σίαν ὁμοῦ τοῖς ὅπλοις, καὶ σφᾶς αὐτίκα οὐ τὴν εὐθεῖαν
ἀπὸ τῶν Θηβῶν τὴν πεδιάδα, τὴν δὲ ἐπὶ Ὑσιῶν ἦγε πρὸς
Ἐλευθερῶν τε καὶ τῆς Ἀττικῆς, ἧι μηδὲ σκοπὸς ἐτέτακτο
ὑπὸ τῶν Πλαταιέων· γενήσεσθαι ⟨δὲ περὶ τὰ⟩ τείχη
7 περὶ μεσοῦσαν μάλιστα ἔμελλε τὴν ἡμέραν. Πλαταιεῖς δὲ
ἄγειν Θηβαίους νομίζοντες ἐκκλησίαν ἐς τοὺς ἀγροὺς
ἀποκεκλειμένοι τῶν πυλῶν ἦσαν· πρὸς δὲ τοὺς ἐγκατα-
ληφθέντας ἐποιήσαντο οἱ Θηβαῖοι σπονδάς, ἀπελθεῖν σφᾶς

2 τὸν Dindorf: τῶν β || 3 ἔπραξεν **R²PaVb**: πρᾶξαι **P** πράξαι **VF** || 8 καδμίαν **F** | κατασχοῦσιν — 10 Λακεδαιμονίους om. **P** || 12 ἀνύποπτα **Pa**: ἂν ὕποπτα β || 15 τὴν om. **RVaVb** || 16 suppl. Porson || 18 τοιούτωι] τοσούτωι Bekker || 19 καθ' ℜ: κατ' β || 22 τέ τινα **Pa** | ἰέναι Sylburg: εἶναι β || 24 Θηβῶν Sylburg: θηβαίων β | ὑσιῶν **Pa**: ὑσίων **FP** ὑσίαν **V** || 25 ἐλευθέρων **F** || 26 suppl. **Pa**, lac. ante γενήσεσθαι ind. Bekker || 27 μεσοῦσαν **V**: μέσουσαν **FP** || 28 ἐκκλησίαν νομίζοντες **Pa**





πρὸ ἡλίου δύντος ἄνδρας μὲν σὺν ἑνί, γυναῖκας δὲ δύο ἱμάτια
ἑκάστην ἔχουσαν. συνέβη τε ἐναντία τοῖς Πλαταιεῦσιν
ἐν τῶι τότε ἡ τύχη ἢ ὡς ὑπὸ Ἀρχιδάμου καὶ Λακεδαιμο-
νίων τὸ πρότερον ἥλωσαν· Λακεδαιμόνιοι ⟨μὲν⟩ γε αὐτοὺς
ἐξεπολιόρκησαν ἀπείργοντες διπλῶι τείχει μὴ ἐξελθεῖν
τοῦ ἄστεως, Θηβαῖοι δὲ ἐν τῶι τότε ἀφελόμενοι μὴ ἐσελ-
θεῖν σφᾶς ἐς τὸ τεῖχος. ἐγένετο δὲ ἡ ἅλωσις Πλαταίας ἡ 8
δευτέρα μάχης μὲν τρίτωι τῆς ἐν Λεύκτροις ἔτει πρότερον,
Ἀστείου δὲ Ἀθήνησιν ἄρχοντος. καὶ ἡ μὲν πόλις ὑπὸ τῶν a. C. 373
Θηβαίων καθηιρέθη πλὴν τὰ ἱερά, τοῖς δὲ Πλαταιεῦσιν
ὁ τρόπος τῆς ἁλώσεως σωτηρίαν παρέσχεν ἐν ἴσωι πᾶσιν·
ἐκπεσόντας δὲ σφᾶς ἐδέξαντο αὖθις οἱ Ἀθηναῖοι. Φιλίππου
δέ, ὡς ἐκράτησεν ἐν Χαιρωνείαι, φρουράν τε ἐσαγαγόντος
ἐς Θήβας καὶ ἄλλα ἐπὶ καταλύσει τῶν Θηβαίων πράσσον-
τος, οὕτω καὶ οἱ Πλαταιεῖς ὑπ' αὐτοῦ κατήχθησαν.

Γῆς δὲ τῆς Πλαταιίδος ἐν τῶι Κιθαιρῶνι ὀλίγον τῆς 2
εὐθείας ἐκτραπεῖσιν ἐς δεξιὰ Ὑσιῶν καὶ Ἐρυθρῶν ἐρείπιά
ἐστι. πόλεις ⟨δέ⟩ ποτε τῶν Βοιωτῶν ἦσαν, καὶ νῦν ἔτι ἐν
τοῖς ἐρειπίοις τῶν Ὑσιῶν ναός ἐστιν Ἀπόλλωνος ἡμίεργος
καὶ φρέαρ ἱερόν· πάλαι δὲ ἐκ τοῦ φρέατος κατὰ τῶν
Βοιωτῶν λόγον ἐμαντεύοντο πίνοντες. ἐπανελθοῦσι δὲ 2
ἐς τὴν λεωφόρον ἐστὶν αὖθις ἐν δεξιᾶι Μαρδονίου λεγόμε-
νον μνῆμα εἶναι. καὶ ὅτι μὲν εὐθὺς ἦν μετὰ τὴν μάχην
ἀφανὴς ὁ Μαρδονίου νεκρός, ἔστιν ὡμολογημένον· τὸν δὲ
θάψαντα οὐ κατὰ ταὐτά, ὅστις ἦν, λέγουσι· φαίνεται δὲ
Ἀρτόντης ὁ Μαρδονίου πλεῖστα μὲν δοὺς Διονυσοφάνει
δῶρα ἀνδρὶ Ἐφεσίωι, δοὺς μέντοι καὶ ἄλλοις Ἰώνων ὡς
οὐδὲ ἐκείνοις ἀμελὲς γενόμενον ταφῆναι Μαρδόνιον. αὕτη
μὲν ἀπ' Ἐλευθερῶν ἐς Πλάταιαν ἄγει.

Τοῖς δὲ ἐκ Μεγάρων ἰοῦσι πηγή τέ ἐστιν ἐν δεξιᾶι καὶ 3
προελθοῦσιν ὀλίγον πέτρα· καλοῦσι δὲ τὴν μὲν Ἀκταίωνος

4 suppl. **Pa** | γε] δὲ **P** γὰρ Sylburg || 8 ἔτει **V**: ἔτι **P** ἔστι **F** || 13 Χαιρωνείαι edd.: χερωνία β || 14 πράσσοντος **P**: -ας β || 17 ἐρίπια **F**, item 19 || 18 πόλεις ℜ: πόλις β | suppl. **Pa** || 19 ὑσίων **F** || 25 ταὐτά **F**: ταῦτα **VP** || 26 Ἀρτόντης **R^sv PaVb**: ἀντόντης β || 29 ἐλευθέρων **F**

AKADEMIE DER WISSENSCHAFTEN DER DDR
ZENTRALINSTITUT
FÜR ALTE GESCHICHTE UND ARCHÄOLOGIE

BIBLIOTHECA
SCRIPTORVM GRAECORVM ET ROMANORVM
TEVBNERIANA

BSB B.G.TEUBNER VERLAGSGESELLSCHAFT
1989

# PAVSANIAE GRAECIAE DESCRIPTIO

VOL. III

LIBRI IX–X. INDICES

EDIDIT

MARIA HELENA ROCHA-PEREIRA

G Paus 1:6² III Pr

BSB B.G. TEUBNER VERLAGSGESELLSCHAFT
1989

Klassisch-Philologisches Seminar
der Universität Zürich
89 / 138